Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

1948.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

J. A. L. Morasß. 1788.

K.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

# TESTIMONIA
# IOSEPHI, MELITONIS
ET
# ORIGENIS
DE
## LIBRIS CANONICIS VETERIS TESTAMENTI

RECVDI CVRAVIT

HENRICVS ERNESTVS GVTE
PHIL. MAG. ET ECCL. VLRIC. DIACONVS.

HALAE,
TYPIS VIDVAE CVRTI.

2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

# I.

# IOSEPHVS

## contra APIONEM lib. 1. §. 8.

### (cf. Eusebii hist. Eccles. lib. X.)

Ου γαρ μυριαδες βιβλιων εισι παρ᾽ ἡμιν, ασυμφωνων και μαχομενων· δυο δε μονα προς τοις εικοσι βιβλια, του παντος εχοντα χρονου την αναγραφην, τα δικαιως θεια a) πεπιςευμενα. Και τουτων πεντε μεν εςι τα Μωϋσεως, ἁ τους τε νομους περιεχει και την της ανθρωπογονιας παραδοσιν, μεχρι της αυτου τελευτης. Ὁυτος ὁ χρονος απολειπει τρισχιλιων ολιγον ετων. Απο δε της Μωϋσεως τελευτης μεχρι της Αρταξερξου, του μετα Ξερξην Περσων βασιλεως, αρχης b), ὁι μετα Μωϋσην προφηται τα κατ᾽ αυτους πραχθεντα συνεγραψαν εν τρισι και δεκα βιβλιοις. Ἁι δε λοιπαι τεσσαρες ὑμνους εις τον Θεον και τοις ανθρωποις ὑποθηκας του βιου περιεχουσιν. Απο δε Αρταξερξου

a) θεια ist aus Eusebius in die neuern Ausgaben des Josephus gekommen.

b) αρχης fehlt in den meisten Codd. sowohl vom Josephus als Eusebius.

ξου μεχρι του καθ' ἡμας χρονου γεγραπται μεν ἑκαστα. πιστεως δε ουχ' ὁμοιας ἠξιωται της προ αυτων, δια το μη γενεσθαι την των προφητων ακριβη διαδοχην. Δηλον δ' εστιν εργῳ, πως ἡμεις τοις ιδιοις γραμμασι πεπιστευκαμεν. Τοσουτου γαρ αιωνος ηδη παρῳχηκοτος, ουτε προσθειναι τις ουδεν, ουτε αφελειν c) αυτων, ουτε μεταθειναι τετολμηκε. Πασι δε συμφυτον εστιν ευθυς εκ της πρωτης γενεσεως Ιουδαιοις, το νομιζειν αυτα Θεου δογματα, και τουτοις εμμενειν d), και ὑπερ αυτων, ει δεοι, θνησκειν ἡδεως.

c) Eusebius hat ἁπ' αυτων.

d) Eusebius hat επιμενειν.

# II.

# MELITO

## apud EVSEBIVM lib. IV. hist. Eccl. c. 26.

Μελιτων Ονησιμω τω αδελφω χαιρειν. επειδη πολλακις ηξιωσας σπουδη τη προς τον λογον χρωμενος γενεσθαι σοι εκλογας, εκ τε του νομου και των προφητων περι του σωτηρος και πασης της πιστεως ἡμων. ετι δε και μαθειν την των παλαιων βιβλιων εβουληθης ακριβειαν, ποσα τον αριθμον και ὁποια την ταξιν ειεν, εσπουδασα το τοιουτο πραξαι, επισταμενος σου το σπουδαιον περι την πιστιν, και φιλομαθες περι τον λογον. ὁτι τε μαλιστα παντων ποθω τω προς Θεον ταυτα προκρινεις περι της αιωνιου σοτηριας αγωνιζομενος. ανελθων ουν εις την ανατολην, και ἑως του τοπου γενομενος ενθα εκηρυχθη και επραχθη και ακριβως μαθων τα της παλαιας διαθηκης βιβλια, υποταξας επεμψα σοι· ὡν εστι τα ονοματα. Μωϋσεως πεντε· γενεσις, εξοδος, λευιτικον, αριθμοι, δευτερονομιον· Ιησους ναυη, κριται, ῥουθ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

ῥοὺθ. βασιλειων τεσσαρα, παραλειπομενων δυο· ψαλμων δαβιδ, σαλομωνος παροιμιαι, ἢ και σοφια, εκκλησιαςικης, ᾀσμα ᾀσματων, ιωβ. προφητων, ἠσαϊου, ἱερεμιου. των δωδεκα εν μονοβιβλῳ. δανιηλ, ἱεζεκιηλ, εσδρας· εξ ὧν και τας εκλογας εποιησαμην, εις ἓξ βιβλια διελων.

# III.

# ORIGENES

## apud EVSEBIVM lib. VI. hist. Eccl. c. 25.

Τον μεν τοιγε πρωτον εξηγουμενος ψαλμον, εκθεσιν πεποιηται του των ἱερων γραφων της παλαιας διαθηκης καταλογου, ὡδε πως γραφων κατα λεξιν· ουκ αγνοητεον δ' ειναι τας ενδιαθηκους βιβλους, ὡς Ἑβραιοι παραδιδοασιν, δυο και εικοσι· οσος ὁ αριθμος των παρ' αυτοις ϛοιχειων εϛιν· ειτα μετα τινα, επιφερει λεγων· εισι δε ἁι εικοσι δυο βιβλοι καθ' Ἑβραιους ἁιδε. ἡ παρ' ἡμιν γενεσις επιγεγραμμενη, παρα δε Ἑβραιοις απο της αρχης της βιβλου βρησιθ, ὁπερ εϛιν εν ἀρχῃ· εξοδος. ουαλεσμωθ, ὁπερ εϛι ταυτα τα ονοματα· λευιτικον, ουϊκρα, και εκαλεσεν. αριθμοι, αμμεσφεκωδειμ. δευτερονομιον ἑλλε ἁδδεβαριμ, ουτοι ὁι λογοι· Ιησους ὑιος Ναυη, Ιωσυε βεν Νουν· κριται, ῥουθ, παρ' αυτοις εν ἑνι σωφετιμ. βασιλειων πρωτη δευτερα, παρ' αυτοις ἑν Σαμουηλ, ὁ θεοκλητος. βασιλειων τριτη τεταρτη εν ἑνι, ουαμμελεχ δαβιδ, οπερ εϛι βασι-

βασιλεια δαβιδ. Παραλειπομενων πρωτη δευτερα εν ἑνι διβρη αϊαμιμ, ὁπερ εςι λογοι ημερων. εσδρας πρωτος και δευτερος εν ἑνι, εζρα, ὁ εςι βοηθος· βιβλος ψαλμων σεφερ θιλλιμ. Σαλομωντος παροιμιαι, μισλωθ, εκκλησιαςης, κωελεθ· ασμα ασματων, σιρ ασσιριμ· ἡσαϊας, Ιεσαϊα. Ιερεμιας συν θρηνοις και τη επιςολη ἐν ἑνι, Ιερεμια, Δανιηλ, Δανιηλ. Ἰεζεκιηλ, Ιεεζκηλ. Ιωβ, Ιωβ· Εσθηρ, Εσθηρ. εξω δε τουτων εςι τα Μακκαβαϊκα, ἁπερ επιγεγραπται Σαρβηθ σαρβανε ελ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

Jc 3023
8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13

2

TESTIMONIA

# IOSEPHI, MELITONIS

ET

# ORIGENIS

LI

HEN

T

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-155498339-13